UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Pelusiotis Monachis. 220.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

vnguibus armata, deuorans & cõminuens & conculcans, nec ad vllius animantis similitudinem accedens, Romanorum Imperium perspicuè designabat, vtpote ex omnibus nationibus & tribubus compactum, omnique robore & gloria in seipso præditum. Neque enim vno nomine exprimendum vidit Propheta principatum illum, qui potentiæ suæ iugum in omnes extendit, atque Dominicæ incarnationis tempore in infinitum imperium processit.

κωμένον, καὶ ὄνυξι χαλκοῖς προσωπλισμένον, ἐσθίον καὶ λεπτῦνον καὶ καταπατοῦν. οὐδενὶ ζώῳ ὡμοιωμένην τὴν ῥωμαίων ἐπιδήλως ἐσήμανεν, ἐκ πάντων ἐθνῶν καὶ φυλῶν συντεταγμένην, καὶ πᾶσαν ἀλκὴν καὶ δόξαν ἐν ἑαυτῇ κεκτημένην. οὐ γὰρ ἑνὶ ὀνόματι προσαγορεῦσαι ἑώρακε τὴν ἐπὶ πάντας τὸν ζυγὸν τοῦ κράτους ἐκτείνασαν, καὶ εἰς ἀπέραντον βασιλείαν τῷ καιρῷ τῆς σαρκώσεως τοῦ κυρίου προκόψασαν. ἀρ-

### *Nilo.* 219.

### Νείλῳ. σιθ.

Exod. Igni assas agni carnes edebant Hebræi, magnum diuinæ incarnationis mysterium per huiusmodi esum typicè adumbrantes, ac Dei agnum prædicentes, qui diuinæ essentiæ ignem, modo sermone omni præstantiore, cum ea carne connectit, quæ nunc à nobis editur, vitiorúmque remissionem affert.

Ὀπτὰ πυρὶ τὰ κρέα τοῦ ἀμνοῦ ἤσθιον ἑβραῖοι, τυπικῶς τὸ μέγα τῆς θείας οἰκονομίας μυστήριον σκιαγραφοῦντες διὰ τῆς βρώσεως, καὶ τὸν ἀμνὸν τοῦ θεοῦ προμανθάνοντες, τὸ πῦρ τῆς θείας οὐσίας σαρκὶ ἀφράστως συμπλέκοντα, τῇ νῦν παρ' ἡμῶν ἐσθιομένῃ, καὶ τὴν ἄφεσιν τῶν κακῶν ἐργαζομένῃ.

### *Pelusiotis Monachis.* 220.

### Τοῖς ἐν Πηλουσίῳ μοναχοῖς. σκ.

Religiosæ vitæ certum argumentum haud est, Fratres, pallij ac promissæ barbæ ostentatio. Secessionis Monasticæ cupiditas non est, in vrbibus ac tumultibus immoratio. Nemo Christi aruum sulcat, spinarum feracem voluptatem amplexans. Philosophiam consequi non potest, qui in verborum pugnis & concertationibus operam suam collocat. Per continentiam purgari non sustinet, qui ciborum suauitates ac delicias quærit. Quamobrem si legitimè certare volumus, per habitum à fastu & ostentatione alienum, & monasticũ otium, & tranquillitatis virtutem, quietísque custodiam, ac victus tenuitatem, bonum certamen certemus.

Οὐκ ἔστιν, ἀδελφοί, ἀσκήσεως πληροφορία, τρίβωνος καὶ ὑπήνης ἐπίδειξις. οὐκ ἔστιν ἀναχωρήσεως ἐπιθυμία, ἡ ἐν πόλεσι καὶ θορύβοις ἀνάφυρσις. οὐδεὶς τὴν χριστοῦ αὔλακα τέμνει, τὴν ἀκανθοφόρον ἀσπαζόμενος φιλοπάθειαν. οὐ δύναται κατορθῶσαι φιλοσοφίαν, ὁ λογομαχίαις προσασχολούμενος. οὐκ ἀνέχεται καθαρθῆναι δι' ἐγκρατείας, ὁ βρωμάτων καλλονὰς ζητῶν καὶ ἁβρότητας. εἰ τοίνυν νομίμως ἐθέλομεν ἀθλεῖν, καὶ σχήματι ἀκόμπῳ, καὶ μονήρει σχολῇ, καὶ ἀπαθείας ἀρετῇ, καὶ ἡσυχίας φυλακῇ, καὶ λιτότητι τροφῆς, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισώμεθα.

### *Isidoro Presbytero.* 221.

### Ἰσιδώρῳ πρεσβυτέρῳ. σκα.

1. Cor. 15. Si mortui omnino non resurgunt, ecquid etiam nonnulli pro ipsis baptizãtur? ait diuinus Apostolus, atque corporis naturam tã præclarè cum animæ integritate

Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν; ὁ θεῖος ἔφη Ἀπόστολος, τὴν τῶν σωμάτων φύσιν οὕτω καλῶς συγκρινομένην τῷ τῆς καλῶς

ψυχῆς